καὶ κύριος εἰσήκουσεν προσευχὴν παντὸς ἐν φόβῳ θεοῦ.
6 καὶ πᾶν αἴτημα ψυχῆς ἐλπιζούσης πρὸς αὐτὸν ἐπιτελεῖ ὁ κύριος·
εὐλογητὸς κύριος ὁ ποιῶν ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν ἐν ἀληθείᾳ.

## 7 Ζ′

Τῷ Σαλωμων· ἐπιστροφῆς.

1 Μὴ ἀποσκηνώσῃς ἀφ' ἡμῶν, ὁ θεός,
ἵνα μὴ ἐπιθῶνται ἡμῖν οἳ ἐμίσησαν ἡμᾶς δωρεάν.
2 ὅτι ἀπώσω αὐτούς, ὁ θεός·
μὴ πατησάτω ὁ ποὺς αὐτῶν κληρονομίαν ἁγιάσματός σου.
3 σὺ ἐν θελήματί σου παίδευσον ἡμᾶς
καὶ μὴ δῷς ἔθνεσιν.
4 ἐὰν γὰρ ἀποστείλῃς θάνατον,
σὺ ἐντελῇ αὐτῷ περὶ ἡμῶν·
5 ὅτι σὺ ἐλεήμων
καὶ οὐκ ὀργισθήσῃ τοῦ συντελέσαι ἡμᾶς.
6 Ἐν τῷ κατασκηνοῦν τὸ ὄνομά σου ἐν μέσῳ ἡμῶν ἐλεηθησόμεθα,
καὶ οὐκ ἰσχύσει πρὸς ἡμᾶς ἔθνος.
7 ὅτι σὺ ὑπερασπιστὴς ἡμῶν,
καὶ ἡμεῖς ἐπικαλεσόμεθά σε, καὶ σὺ ἐπακούσῃ ἡμῶν.
8 ὅτι σὺ οἰκτιρήσεις τὸ γένος Ισραηλ εἰς τὸν αἰῶνα
καὶ οὐκ ἀπώσῃ.
9 καὶ ἡμεῖς ὑπὸ ζυγόν σου τὸν αἰῶνα
καὶ μάστιγα παιδείας σου.
10 κατευθυνεῖς ἡμᾶς ἐν καιρῷ ἀντιλήψεώς σου
τοῦ ἐλεῆσαι τὸν οἶκον Ιακωβ εἰς ἡμέραν ἐν ᾗ ἐπηγγείλω αὐτοῖς.

## 8 Η′

Τῷ Σαλωμων· εἰς νεῖκος.

1 Θλῖψιν καὶ φωνὴν πολέμου ἤκουσεν τὸ οὖς μου,
φωνὴν σάλπιγγος ἠχούσης σφαγὴν καὶ ὄλεθρον·
2 φωνὴ λαοῦ πολλοῦ ὡς ἀνέμου πολλοῦ σφόδρα,
ὡς καταιγὶς πυρὸς πολλοῦ φερομένου δι' ἐρήμου.
3 καὶ εἶπα ⟨ἐν⟩ τῇ καρδίᾳ μου
Ποῦ ἄρα κρινεῖ αὐτὸν ὁ θεός;
4 φωνὴν ἤκουσα εἰς Ιερουσαλημ πόλιν ἁγιάσματος·
5 συνετρίβη ἡ ὀσφύς μου ἀπὸ ἀκοῆς,
παρελύθη γόνατά μου, ἐφοβήθη ἡ καρδία μου,
ἐταράχθη τὰ ὀστᾶ μου ὡς λίνον.
6 εἶπα Κατευθυνοῦσιν ὁδοὺς αὐτῶν ἐν δικαιοσύνῃ.